# "Metakosmos" in Ancient Texts

## Post by “Bryan” of December 28, 2024 at 6:05 PM

Not quite μετακόσμιος, but we have two instances of μετακοσμέω, *rearrange / modify:*

Epíkouros, Peri Phýseōs, Book 25, P.Herc. 1056 col. 20 (fr. B 42) ...πράττε[ι], ἀλλὰ τὰ αὐτὰ πάντ' ἔχον οὐκ̣ [ἐξ]α̣[ι]ρ̣ούμεθα τῆς αἰτίας τὸ ἀπ̣[ογεγ]εννημένον ἀλλ' ἕν τι ποιοῦν[τες] αὐ[τ]ὸ καὶ τὴν σύστασιν [ὁμοίως κα]θαίρομεν τὸ δ' οὐ νο[υθε]τ̣οῦ̣μέν γε, πολλὰ δὲ οὐδὲ κατά τινας ἐθισ̣μ[ο]ὺ̣[ς] ἄνευ νοῦ λέξεω̣ς **μετακ[ο]σ[μ]οῦμεν...** τὸ γ]ὰρ ἐξαιρού μεν̣[ο]ν̣ τῆς αἰτ̣[ίας] κατ' ἀνάγκ̣[ην]...

Epíkouros, Peri Phýseōs, Book 25, P.Herc. 1191 fr. 115/116 ...ενέσθαι, ἀλ[λὰ κε]νὸν [καὶ] τὸ {δι' ἀνάγκην καλ[εῖ]ν προ[ὸ]ς ὧν φάτε. ἂν δὲ μ[ή] τις τοῦτο ἀποδείξει, μηδ' ἔχει ἡμῶν [τ]ι συνεργὸν μηδ' ὅρμημα ἀπο[τ]ρέπειν ὧν καλοῦντες δι' ἡμῶν αὐτῶν τὴν αἰτίαν συντελοῦμεν, ἀλλὰ πάντα ὅσ[α] νῦν δι' ἡμῶν αὐ[τῶ]ν ὀνομάζοντες τὴν αἰτίαν [εἶναι διαβ]ε[βα]ιούμεθα πράττε[ιν] κατὰ χώραν ἀνάγκην προσαγορεύων, ὄνομα μόνον ἀμείψει.} ἔργον δ' οὐδὲν ἡμῶν **μετακοσμήσει**, ὡσπερ ἐπ' ἐνίων ὁ συνορῶν τὰ ποῖα κατ' ἀνάγκην ἐστὶν ἀποτρέπειν εἴωθε τοὺς προθυμουμένους παρὰ̣ βίαν τι π[ρ]άττειν. ζητήσει δ' ἡ διάνοια εὑρεῖν τὸ ποῖον [ο]ὖν τι δεῖ νομί[ζ]ειν τὸ ἐξ ἡ[μ]ῶν αὐτῶ[ν π]ως [πρ]αττόμενον [μ]ὴ προθυμ[ουμένων πράτ]τειν. οὐ γὰρ ἔχει ἄλ[λο τι οὐθὲν] εἰ μὴ φά[ναι τὸ] ποῖον [κατ' ἀνάγκην] ἐσ[τὶ]...

which is also attested by Epíkouros, Peri Phýseōs, Book 25, P.Herc. 697 col. 4 (fr. A 54) ...ἀνάγκ̣ην προσαγορεύω̣ν, ὄνομα μόνον ἀμείψει, ἔργον δ̣' οὐθὲν ἡμῶν μετακ̣οσμήσε̣ι̣, ὥσπερ ἐπ' ἐνίων ὁ συνορ̣ῶν τὰ ποῖα κατ' ἀνάγκην ἐστιν, ἀ̣π̣οτρέπειν εἴωθε τοὺς προθ̣υμουμένους παρὰ βίαν τι πρ]άττειν. ζητήσει δ' ἡ διάνοια εὑρεῖν τὸ ποῖο̣[ν ο]ὖ̣ν τι δεῖ νομίζε]ιν τὸ ἐξ [ἡμ]ῶν αὐτῶ[ν π]ω̣ς [πρ]αττόμενον τῆ προθυμ[ίαι τοῦ πράτ]τ̣ειν. οὐ γὰρ ἔχει ἄλ[λ' οὐθὲν] π̣ρ̣[άττ]ει[ν] ἢ̣ φάν̣[α]ι̣...